φωτὶ τῷ λόγῳ προθήσομαι καὶ κοινώσομαι· σὺ δ᾽ ἀλλά μοι συγγνωμονοίης καὶ τῷ καύσωνι τῆς ἡμέρας μὴ συγκαιόμενος καὶ τῷ σκότῳ τῆς ἑσπέρας μὴ συγκρυπτόμενος, καί μοι δὸς ἔκφορα τὰ τοῦ μυστηρίου προθεῖναι καὶ διηγήσασθαι. ναὶ μὴ φθονήσῃς τοῦ λόγου, μὴ πρὸς τοῦ λόγου, μηδ᾽ ἐπίσχῃς τοῦ θαύματος, ἀλλ᾽ ἔα καὶ θαυμαστωθῆναι τὸ ἀξιοθαύμαστον καὶ τιμηθῆναι τὸ ἀξιότιμον καὶ λεχθῆναι τὸ ἀξιόλεκτον.

Ἤδη μὲν ὁ κοινὸς ὀφθαλμὸς ὁ μέγας οὗτος φωστὴρ ὑπὸ γῆν κατεδύετο, σοὶ δ᾽ ἀλλ᾽ ὁ νοητὸς καὶ ἄδυτος ἐπηύγαζε τὴν ψυχήν, καὶ λευκός τις ἄλλος ὑπανέτελλεν ἥλιος· ἔνθ᾽ ἄλλοι μὲν πάντες ‘εὗδον παννύχιοι’, σὲ ‘δ᾽ οὐκ εἶχε νήδυμος ὕπνος’, ἀλλ᾽ ἐκάμπτου τὸ σύμπαν σῶμα θεῷ, καὶ πρό γε τοῦ σώματος τὴν διάνοιαν. τὸ δέ σοι εὐκταῖον καὶ σοφισθῆναι θεόθεν τὰ θεῖα καὶ προσεμπνευσθῆναι τὰ τῆς γραφῆς ἀπὸ τοῦ τὴν γραφὴν δεδωκότος τὰ πρῶτα καὶ προσεμπνεύσαντος.

Τί οὖν ὁ τῶν θαυμασίων θεός; ὁ καὶ Μωυσῇ πάλαι δοὺς τὰς ‘πλάκας’ τὸ δεύτερον καὶ Δαυὶδ ἐμπνεύσας, ὡς καὶ προγνῶναι καὶ προθεσπίσαι τὰ μήπω βλεπόμενα, καὶ ἄνδρας ἁλιεῖς εἰς μαθητείαν καὶ προσλαβόμενος καὶ σοφίσας ταῖς πυρίναις γλώσσαις τοῦ πνεύματος. ὁ δέ σοι γλῶτταν μὲν πυρὸς οὐκ ἔπνευσε τῷ δὲ τοῦ πνεύματος πυρὶ τὴν γλῶτταν ἐστόμωσε, καὶ πλάκας μὲν οὐκ ἐπέδωκε ταῖς δὲ τῆς καρδίας πλαξὶ τὴν ὅλην ἱερὰν σοφίαν ἐπέγραψε.

Πῶς καὶ τίνα τρόπον οὕτω σοι θαμινὰ κρυπτομένῳ νυκτὸς μέσης εἰς προσευχὴν καὶ ὕπνος τὸ σῶμα ἐπέκαμψε; θεῖον οἶμαί τι χρῆμα καὶ γνόφος ἂν εἴποι τις τῆς μελλούσης ἐπιπνοίας ὄργανον. ἐδόκει δὴ ταῦτα θεῷ καὶ γίνεσθαι, καὶ ‘θεῖός σοι ἐνύπνιος ἦλθεν ὄνειρος’, οὐχ ὁ πύρινος, ἀλλ᾽ ἡ χρυσῆ γλῶττα καὶ ὡς ἐν πυρὶ καθαρθεῖσα τῷ πνεύματι. οἴδατε τὸν τὴν γλῶσσαν χρυσοῦν καὶ ὡς ἀπὸ χρυσίτιδος πηγῆς τῆς γλώττης πολλὰ τῆς γραφῆς ἀποστάζοντα ψήγματα· ‘στῆ δ᾽ ἄρ ὑπὲρ κεφαλῆς’ καί σου τὴν ἱερὰν κορυφὴν ἱεροῖς κατέψα δακτύλοις καὶ περιεπύκνου πανταχόθεν καὶ τὴν ὅλην κεφαλὴν ἐς τὸ συνεχὲς καὶ περιηγμένον οἷον μετέπλαττεν, ὡς μὴ
415] διαρρεῖν ἐκεῖθεν καὶ | διασκίδνασθαι τὰ νοήματα.

Ταῦτ᾽ ἦν καὶ τὰ τῆς ὁράσεως διελύετο· ‘ὕπνος δ᾽ ἀπέπτη γλυκύθυμος ὀμμάτων’ καὶ ἡ ὡς ἐν ὕπνοις δόκησις ‘οὐκ ὄναρ ἦν, ἀλλ᾽ ὕπαρ’ καὶ φαινόμενον καὶ γιγνόμενον· καὶ σὺ μὲν ἔπνεις ὁποῖον τοὺς ἐνθεάζοντας ᾄδου-